δόκιμος δ' οὔτις ὑποστὰς ἀντ. β'
μεγάλῳ ῥεύματι φωτῶν
ἐχυροῖς ἕρκεσιν εἴργειν
ἄμαχον κῦμα θαλάσσας·
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν
στρατὸς ἀλκίφρων τε λαός.

δολόμητιν δ' ἀπάταν θεοῦ ἐπῳδός
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδή-
ματος εὐπετοῦς ἀνάσσων;
φιλόφρων γὰρ ποτισαίνου-
σα τὸ πρῶτον παράγει
βροτὸν εἰς ἄρκυας ἄτα,
τόθεν οὐκ ἔστιν ὑπὲρ θνα-
τὸν ἀλύξαντα φυγεῖν.

θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησεν στρ. γ'
τὸ παλαιόν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας

94. 95. πήδημ' ἄλις εὐπετῶς

---

δαμνον] τὸν τῶν Περσῶν· τοξόται γάρ. 87. δόκιμος: ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ὑποστάς] ἀντιστάς, ἀντιμαχησάμενος. 89. ἕρκεσιν] ‚οὔτ' ἄρα ἕρκεα ἴσχει' (Hom. Il. έ, 90). ἕρκεσιν] τάξεσιν. 90. ἄμαχον κῦμα θαλάσσας: τὴν προσβολὴν τῶν Περσῶν. 91. ἀπρόσοιστος] ἀκαταμάχητος. 92. στρατὸς — λαός] ἐπὶ τοῦ αὐτοῦ στρατὸς καὶ λαός. 93. δολόμητιν δ' ἀπάταν: ὡς ἔδει παρατέτακται ὁ Ξέρξης. εἰ δὲ θεοῦ ἐπιβουλῇ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν; 95. πηδήματος εὐπετέος: εὐκινήτου. Ὅμηρος (Il. ί, 501) ‚ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν.' ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. ἅμα γὰρ δολοῖ καὶ προσσαίνει καὶ κακοποιεῖ. 97. φιλόφρων] ἡ θεῶν ἀπάτη. 103. τὸ παλαιόν] ἐξ ἀρχῆς. τὸ παλαιόν] τὸ ἀνέκαθεν ἀνδρεῖοί εἰσι καὶ κατὰ εἱμαρμένην πολεμοῦσι. πολεμικοὶ δὲ ὄντες οὐχ ἡσσηθήσονται. ἐπέσκηψε δέ: ἀντὶ τοῦ εἰδέναι ἐποίησεν.